εἰς ἴδιον.

Ὅσα τῷ ο

§. ϡκέ. Τὰ εἰς οεις Ὀνόματα παρὰ τῇ Ποιήσει, εἰμὲν ἡ πρὸ τοῦ ο συλλαβὴ βραχεῖα, τῷ ο μικρῷ γράφεται· οἷον, σκιόεις, ἠρόης, ἀνεμόης. εἰδὲ μακρὰ τῷ μεγάλῳ. κητώης, ὠτώης.

§. ϡκϛ΄. Ἔτι τῷ ο μικρῷ, τὰ εἰς οκη θηλυκὰ, ὑπερδισύλλαβα. ἰσοδόκη. Πλὴν τοῦ ἀκωκὴ, ἰωκὴ, σεώκη.

§. ϡκζ΄. Ἔτι τὰ εἰς οκος, καὶ οχος, δωροδόκος, ξενοδόχος, Ἀντίοχος.

§. ϡκή. Ἔτι τὰ εἰς οπη θηλυκὰ μονογενῆ, Ἰόπη, Καλλιόπη. Πλὴν τοῦ Εὐρώπη, σινώπη, κερκώπη, ἀγρώπη, σιωπὴ, περιωπὴ.

§. ϡκθ΄. Ἔτι τὰ εἰς οπος ἐσχηματισμένα, ὀξύτονα. μακροπός. Πλὴν τῶν ἀπὸ τοῦ ὢψ συγκειμένων. χαρωπός.

§. ϡλ΄. Ἔτι τὰ εἰς οπτρον. κάτοπτρον, ἔσοπτρον, ῥόπτρον.

§. ϡλά. Καθόλου δὲ τὸ ο μεσσυλλαβοῦν δυοῖν ἑπομένων συμφώνων ἐν ἁπλῇ λέξει, μικρογραφεῖται.

§. ϡλβ΄. Ἔτι τὰ εἰς ορας ἀρσενικὰ. Πυθαγόρας. Πρωταγόρας. Πλὴν τοῦ γηώρας.

§. ϡλγ΄. Ἔτι τὰ εἰς ορια θηλυκὰ. ἀπορία, ἐξορία. Πλὴν τῶν ἀπὸ τοῦ ὅρος, καὶ ὥρα συνθέτων. οἷον, ἀκρώρεια, ὑπώρεια, εὐθυωρία, διωρία.

§. ϡλδ΄. Ἔτι τὰ εἰς ορος βαρύτονα, ἁπλᾶ, ὑπερδισύλλαβα. βόρβορος, γρήγορος, λοίδορος. Πλὴν τοῦ